GYNAIKES MULIERES

Mujeres, Dones, Emakumeak, Mulleres de Grecia y Roma

| ***Gynaikes, Mulieres*: Mujeres, Dones, Emakumeak, Mulleres de Grecia y Roma (FCT-21-16887)** | |
|---|---|
| **Roma** | **Autoría: Pilar Pavón Torrejón** |
| República | |
| Ámbito: religión, leyenda, política | |
| μέχρι μὲν δὴ τούτων οἱ πλεῖστοι τῶν συγγραφέων τὰ αὐτὰ ἢ μικρὸν παραλλάττοντες οἱ μὲν ἐπὶ τὸ μυθωδέστερον, οἱ δ᾽ ἐπὶ τὸ τῇ ἀληθείᾳ ἐοικὸς μᾶλλον ἀποφαίνουσι, περὶ δὲ τῶν ἑξῆς διαφέρονται. οἱ μὲν γὰρ εὐθὺς ἀναιρεθῆναι λέγουσι τὴν κόρην, οἱ δ᾽ ἐν εἱρκτῇ φυλαττομένην ἀδήλῳ διατελέσαι δόξαν τῷ δήμῳ παρασχοῦσαν ἀφανοῦς θανάτου. ἐπικλασθῆναι δὲ τὸν Ἀμόλιον εἰς τοῦτο ἱκετευούσης τῆς θυγατρὸς χαρίσασθαι τὴν ἀνεψιὰν αὐτῇ: ἦσαν δὲ σύντροφοί τε καὶ ἡλικίαν ἔχουσαι τὴν αὐτὴν ἀσπαζόμεναί τε ἀλλήλας ὡς ἀδελφάς. χαριζόμενον οὖν ταύτῃ Ἀμόλιον, μόνη δ᾽ ἦν αὐτῷ θυγάτηρ, θανάτου μὲν ἀπολῦσαι τὴν Ἰλίαν, φυλάττειν δὲ καθείρξαντα ἐν ἀφανεῖ: λυθῆναι δὲ αὐτὴν ἀνὰ χρόνον Ἀμολίου τελευτήσαντος. περὶ μὲν οὖν τῆς Ἰλίας οὕτω διαλλάττουσιν αἱ τῶν παλαιῶν γραφαί, λόγον δ᾽ ἔχουσιν ὡς ἀληθεῖς ἑκάτεραι. διὰ τοῦτο κἀγὼ μνήμην ἀμφοτέρων ἐποιησάμην, ὁποτέρᾳ δὲ χρὴ πιστεύειν αὐτός τις εἴσεται τῶν ἀναγνωσομένων.<br><br>(Dionysii Halicarnasei Antiquitatum Romanarum quae supersunt, Vol I-IV. Dionysius of Halicarnassus. Karl Jacoby. In Aedibus B.G. Teubneri. Leipzig. 1885) | Dionisio de Halicarnaso *Antiquitates Romanae* I, 79, 1-3.<br><br>(...)Hasta aquí, la mayoría de los escritores cuentan la misma historia o introducen una pequeña variación, unos tendiendo hacia lo legendario y otros, hacia lo más verosímil, pero difieren en los sucesos posteriores. Unos dicen que la muchacha fue muerta inmediatamente; otros, que fue encerrada en una oculta prisión bajo vigilancia, lo cual indujo al pueblo a pensar que la habían matado a escondidas. Estos últimos dicen que Amulio se compade-ció cuando su hija le suplicó el perdón para su prima, pues se habían criado juntas, tenían la misma edad y se querían como hermanas. Amulio le concedió este favor (ya que era su única hija) y libró de la muerte a Ilia, pero la encerró en un lugar secreto bajo vigilancia y con el tiempo fue liberada, después de la muerte de Amulio. Así pues, éstas son las variaciones que presentan las historias antiguas acerca de Ilia, pero cada una de ellas es razonada como verdadera. Por eso, también yo he hecho mención de ambas y el propio lector sabrá cuál debe creer.<br><br>Dionisio de Halicarnaso. *Historia Romana*. Traducción: Elvira Jiménez, Esther Sánchez, Biblioteca Clásica Gredos 73. Madrid 1984. Libro I, 79, 1-3. p. 140. |
| | |